τίνα ἔχει δύναμιν ἡ τύχη, καὶ τοῦτο ἄτοπον, τὴν καὶ περὶ τῶν αἰτίων γνώμην ἀποφηναμένους, περὶ τούτου παραλιπεῖν. Ὅτι δὲ εἶχον ἔννοιάν τινα περὶ τῶν κατὰ τύχην συμβαινόντων, δηλοῖ τὸ χρῆσθαι ἐνίοτε τῷ ὀνόματι, ὥσπερ Ἐμπεδοκλῆς: —

f. 57v | Σημειωτέον ὡς, εἰ μέμφεται Ἀριστοτέλης τοῖς λέγουσιν ἐκ ταὐτομάτου εἶναι τὸν οὐρανόν, μηδεμίαν δὲ αἰτίαν αὐτοῦ εἶναι, οἵαν τῶν ζῴων καὶ τῶν φυτῶν δηλονότι, καὶ γίνεσθαι τὸν οὐρανὸν βούλεται, εἰ καὶ μὴ ἐν μέρει χρόνου καὶ ἀπὸ ποιητικοῦ πάντως αἰτίου ὡρισμένου καὶ τεταγμένου, ἀλλ' εἴη ἂν τὸ ποιοῦν νοῦς, ἢ εἴ τι καὶ νοῦ κρεῖττον, εἴπερ καὶ τῶν ζῴων καὶ τῶν φυτῶν ἢ φύσιν, ἢ νοῦν, ἤ τί τοιοῦτον ἕτερον εἶναι τὸ αἴτιον συγχωρεῖ. Φύσιν φησὶ τὴν ἑκάστου τῶν στοιχείων εἰς τὸν οἰκεῖον τόπον φοράν, ἥτις καὶ διακρίνει αὐτὰ τῶν ἑτερογενῶν. Δίνην δέ φησι τὴν τοιαύτην τάξιν ἔχειν τὸ πᾶν καταστήσασαν, ἥνπερ ἔχει νῦν, ὡς συμπεριφέρεσθαι τῷ οὐρανῷ τὸν ἀέρα, καὶ τὴν γῆν ἐν μέσῳ φυλάττεσθαι διὰ τὴν ὀξεῖαν περιδίνησιν: —

Λαβὼν ὁμολογούμενον τὸ γινόμενον τινὸς αἰτιατὸν εἶναι πάντως καὶ τὸ ποιοῦν αἴτιον αὐτοῦ, δείκνυσιν ὅτι τὰ ὡς ἐπ' ἔλαττον ὄντα καὶ ἔστιν ἐν τῇ φύσει τῶν ὄντων καὶ ἀπὸ τύχης καὶ ταὐτομάτου γίνονται. Εἰ οὖν τὰ ὡς ἐπ' ἔλαττον γινόμενά ἐστιν ἐν τῇ φύσει καὶ ἀπὸ τύχης καὶ ταὐτομάτου γίνονται, φανερὸν ὅτι ἔστιν ἡ τύχη καὶ τὸ αὐτόματον:

**Chapitre V.** — Δείξας εἶναι τὴν τύχην καὶ τὸ αὐτόματον, ἐφεξῆς λοιπὸν τὸν τρόπον προστιθεὶς καθ' ὃν ἡ τύχη τῶν ὡς ἐπ' ἔλλαττον αἰτία καὶ τὸ αὐτόματον, ὅτι ὡς τοῖς κατὰ προαίρεσιν καὶ φύσιν γινομένοις παρυφιστάμενον, κατὰ συμβεβηκὸς οὕτως αἰτία ἐστίν, ἐκ τούτων καὶ τὸ τί ἐστι δείκνυσιν. Πρὸς μὲν γὰρ τὸ εἰ ἔστιν, ἤρκει τὸ εἶναι τὰ αἰτιατά· πρὸς δὲ τὸ τίνα τὰ αἴτιά ἐστι, χρεία τοῦ τρόπου τῆς τῶν αἰτιατῶν ὑποστάσεως. Διελὼν οὖν πάλιν τὰ γινόμενα πάντα εἴς τε τὰ ἕνεκά του καὶ τὰ μὴ τοιαῦτα· πολλὰ γὰρ καὶ ἀσκόπως γίνεται, ὡς διὰ συνήθειαν κακὴν τινὲς τὰς τρίχας ἐκτίλλουσιν· καὶ εἰπὼν τίνα ἐστὶ τὰ ἕνεκά του· ὅτι τὰ κατὰ προαίρεσιν, οἷα καὶ τὰ κατὰ τέχνην καὶ τὰ κατὰ φύσιν· δείκνυσιν ὅτι τινὰ τῶν ὡς ἐπ' ἔλαττον γινομένων ἕνεκά του γίνεται, καὶ συλλογίζεται ἐν τρίτῳ σχήματι οὕτως· ἡ τύχη καὶ τὸ αὐτόματον τῶν ἐπ' ἔλαττον· ἡ τύχη καὶ τὸ αὐτόματον τῶν ἕνεκά του, ὅπερ ἔλαβε νῦν ἐκ τῆς διαιρέσεως· τινὰ ἄρα τῶν ἐπ' ἔλαττον ἕνεκά του ἐστίν: —

Τὸ ἕνεκά του θεωρεῖται ἐν τοῖς ἀπὸ τύχης, οὐχ ὅτι ἕνεκά τινος ἐγένετο ἡ πρόοδος, οἷον τοῦ ἀγοράσαι, ἀλλ' ὅτι καὶ τοῦτο ἕνεκα τοῦ τέλους ἐγένετο, ὡς δοκεῖ Πορφυρίῳ· ἦλθε γὰρ ἄν, φησί, κομισόμενος τὸν ἔρανον, εἰ ᾔδει. Κατὰ συμβεβηκὸς δὲ αἴτια γίνεται τὰ ἀπὸ διανοίας καὶ φύσεως, ὅταν μὴ ὧν χάριν γίνεται ταῦτα γίνηται, ἀλλά τινα ἄλλα, οἷον προέρχομαι μὲν διὰ τὸ ἀγοράσαι· περιτυχὼν δὲ τῷ χρεώστῃ, ἀπέλαβον τὸ χρέος·

ΙΩΑΝΝΙΝΑ 2006

καταφέρεται μὲν ὁ λίθος διὰ τὸ καταλαβεῖν τὴν οἰκείαν ὁλότητα, κατὰ κεφαλῆς δέ τινος ἐνεγχθεὶς ἐτραυμάτισεν· ἢ τοιῶσδε πεσών, βάθρον ἐγένετο: —

Τὰ ἀπὸ διανοίας καὶ φύσεως, ὅταν μὴ γένηται ἀπὸ οἰκείας καὶ προηγουμένης αἰτίας καὶ καθ' αὑτήν, τότε λέγομεν ἀπὸ τύχης εἶναι καὶ γίνεσθαι:

Εἰ ἔστι τινὰ τῶν ὄντων κατὰ συμβεβηκὸς ὄντα, δῆλον ὅτι καὶ τὰ τούτων αἴτια κατὰ συμβεβηκὸς ἂν εἴη αἴτια:

Ὁ Ἀλέξανδρος καθ' αὑτὸ ὄν φησι τὴν οὐσίαν, κατὰ συμβεβηκὸς δὲ τὸ τῇ οὐσίᾳ συμβεβηκός. Ὁ δὲ Σιμπλίκιος ὄν φησι πᾶν τὸ αἰτιατόν. Ὡς οὖν αἰτιατόν, φησί, τὸ μὲν καθ' αὑτό, τὸ δὲ κατὰ συμβεβηκός, οὕτω καὶ αἴτιον:

Διαφέρει δὲ ἡ τύχη τῶν ἄλλων τῶν κατὰ συμβεβηκὸς αἰτίων, ὅτι τὸ μὲν τῷ καθ' αὑτὸ αἰτίῳ συμβέβηκεν, ἐπὶ δὲ τῆς τύχης ἡ αὐτὴ πρᾶξις καὶ μία, ἄλλου μὲν καθ' αὑτὴν αἰτία, ἄλλου δὲ κατὰ συμβεβηκός: —

Πάντα οὖν φησι τὰ εἰρημένα περὶ τῆς τύχης, ὅτι ἀορίστων αἰτία, ὅτι ἄδηλος ἀνθρώπῳ, ὅτι οὐδενὸς αἰτία ὀρθῶς λέγεται, ὅτι ἔχει τὸν εἰκότα λόγον καὶ συνᾴδει τῷ ἀποδεδομένῳ τῆς τύχης ὁρισμῷ:

Ἡ μὲν ἀπορία σαφής, ἡ δὲ ἐπίλυσις αὐτῆς οὕτως ἔχει· ὅταν μὲν λαβόντες τὰ κατὰ συμβεβηκὸς αἴτια συγκρίνωμεν, τότε οὐ τὰ τυχόντα αἴτια τῶν γινομένων ἀπὸ τύχης ὁμοίως, ἀλλὰ μᾶλλον τὰ προσεχέστερα. Ὅταν δὲ τὰ ἁπλῶς ζητῶμεν, τί ἂν αἴτιον γένοιτο τῶν ἀπὸ τύχης, τότε οὐκ ἔστιν ὡσαύτως (?) εἰπεῖν τόδε τι· ἄπειρα γὰρ καὶ ἀόριστα ληφθῆναι δύναται:

| Τὸ παρὰ μικρὸν ἢ ἐπὶ τοῦ τὸ ὅλον κακὸν καὶ ἀγαθὸν παρὰ μικρὸν f. 58 v λαβόντος· καὶ λαμβάνεται κατὰ τὸν Ἀλέξανδρον, ἢ κατὰ Σιμπλίκιον, ὃ καὶ βέλτιον ἐπὶ τῶν παρὰ μικρὸν ἐλθόντων ἐμπεσεῖν εἰς μέγα κακὸν ἢ ἀγαθόν:

Εἰ ἡ τύχη, ἐν οἷς ἡ εὐτυχία, ἡ δὲ εὐτυχία, ἐν οἷς ἡ εὐδαιμονία, διότι τῇ εὐδαιμονίᾳ ταὐτόν πως ἐστίν, ἡ δ' εὐδαιμονία ἐν τῇ πράξει, διότι εὐπραξία τις ἐστί, καὶ ἡ τύχη ἐν πράξει ἐστὶν ἄρα. Οὐ καλῶς δὲ δοξάζουσιν οἱ τὴν εὐτυχίαν εὐδαιμονίαν οἰόμενοι, ἀλλ' ἔστι μέν τι τῶν πρὸς τὴν εὐδαιμονίαν, οὐ μὴν ταὐτὸν οὐδὲ ὅμοιον, εἴπερ ἣ μὲν ἀβέβαιος, ἣ δὲ μονιμωτάτη. Ὅτι δὲ ἐν προαιρέσει καὶ πράξει ἡ τύχη, δείκνυσι καὶ ἐκ τοῦ ἀντικειμένου. Εἰ γὰρ ἐν οἷς πρᾶξις οὐκ ἔστιν εὐτυχία οὐδὲ τὰ ἀπὸ τύχης, εὔδηλον ὅτι καὶ ταύτῃ ἡ τύχη ἐν πράξει ἐστίν:

Τὰ ἄψυχα καὶ παιδία καὶ θηρία ποιητικὸν μὲν αἴτιον τῶν ἀπὸ τύχης οὐ δύναται εἶναι, διότι ἡ τύχη προαιρέσει παρυφίσταται καὶ πράξει· πάσχειν δὲ ἀπὸ τύχης δύναται καὶ ταῦτα, ὅταν ὁ πράττων, ᾧ τὸ ἀπὸ τύχης ἀκολουθεῖ, πράξῃ τι περὶ αὐτὰ ἀπὸ τύχης, οἷον ὁ τὸν τύραννον



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πλήξας μὲν ἐπὶ τῷ ἀνελεῖν, διακόψας δὲ τὸ φύμα καὶ ἰασάμενος· εὐτυχὲς γὰρ ἂν οὕτω λέγοιτο τὸ ξίφος. Μήποτε δὲ ταῦτα οὐ τῶν ἀψύχων εἰσὶ τυχαῖα, ἀλλὰ τῶν ἐνεργούντων περὶ αὐτά· τῷ γὰρ ζωγράφῳ καὶ τῷ λιθοξόῳ ἄλλο τι ποιοῦντι ἄλλο τι συνέβη, καὶ τούτοις δὲ ἴσως καθ' ὁμοιότητα, ὅτι ἐπ' ἄλλου γενομένοις ἄλλο ἀπήντησεν:

Τὸ ὑπὸ ταὐτομάτου λέγομεν ἐν τοῖς ἕνεκά του γινομένοις ἁπλῶς, κατά τε φύσιν δηλαδὴ καὶ προαίρεσιν, ἐπεὶ καὶ ἄμφω ἕνεκά του ποιεῖ, ὅταν ταῦτα τὰ ἕνεκά του γινόμενα μὴ γένηται ἕνεκα τοῦ συμβάντος, ἀλλ' ἄλλου τινὸς ἕνεκα, ἐπακολουθήσῃ δὲ τὸ συμβὰν οὐκ ἐκ τῆς φύσεως τοῦ πράγματος, ἀλλ' ἔξωθεν. Ἁπλῶς μὲν οὖν τοῦτό ἐστι τὸ ἐκ ταὐτομάτου ἐν πᾶσιν ὁμοίως καὶ λογικοῖς καὶ ἀλόγοις καὶ ἀψύχοις θεωρούμενον· ἰδίως δὲ τοῦτο ἐν τοῖς προαιρετικοῖς συμβαῖνον ἀπὸ τύχης λέγεται:

Τὸ μάτην τριττόν· ἢ γὰρ οὐδὲν ἕτερον ἀκολουθεῖ τῷ μάτην γινομένῳ, ἀλλὰ μόνον τοῦ οἰκείου τέλους ἡμάρτηκεν, ὡς ἡ βάδισις τοῦ τὴν γαστέρα λαπαχθῆναι· ἢ ἕτερον τέλος ἀκολουθεῖ παρ' ἐκεῖνο οὗ ἕνεκα ἐγένετο τὸ προγεγονός· ἢ καὶ ἐκεῖνο ἀκολουθεῖ τὸ οὗ ἕνεκα, καὶ ἄλλο παρ' ἐκεῖνο· κατέπεσε γὰρ ὁ λίθος οὐ τοῦ πατάξαι ἕνεκεν, ἀλλ' ἵνα τὸν οἰκεῖον καταλάβῃ τόπον· διὸ ἀπὸ ταὐτομάτου μὲν οὕτω κατέπεσεν ὡς πλῆξαι, καθ' αὑτὸ δὲ ὡς τὸν οἰκεῖον τόπον καταλαβεῖν· μάτην δὲ ὡς πρὸς τὸ πλῆξαι κατέπεσε, καὶ ἡ πληγὴ ἀπὸ ταὐτομάτου, ἔτι πέσοι μὲν ἂν ὑπό τινος βληθεὶς ἕνεκα τοῦ πατάξαι, καὶ διὰ τοῦτο ἐν τοῖς ἕνεκά του ἐστίν· οὐ μέντοι διὰ τοῦτο ἔπεσεν: —

**Chapitre VI.** — Οὔτε δὲ ταὐτὸν τὸ μάτην τῷ αὐτομάτῳ, ἀλλὰ παρώνυμον τὸ αὐτόματον ἀπὸ τοῦ μάτην· οὔτε ποιητικὸν τοῦ αὐτομάτου, ἀλλὰ καθόσον ἄπρακτον τὸ μάτην ὅσον ἐφ' ἑαυτῷ, κατὰ τοσοῦτον ἐδεήθη αὐτοῦ πρὸς πίστιν τῆς τοῦ αὐτομάτου ἀποδόσεως, καὶ αὐτοῦ τοιούτου ὄντος· ποιητικὸν δὲ τὸ αὐτόματον καὶ αἰτιατὸν τὸ ἀπὸ ταὐτομάτου, ὡς ἡ τύχη καὶ τὸ ἀπὸ ἀπὸ τύχης:

f. 59 | Μᾶλλον μὲν αὐτομάτως γίνεσθαι ῥηθήσεται τὰ παρὰ φύσιν, ἢ ἀπὸ τύχης, οὐ μὴν ἁπλῶς· οὐ γὰρ τῶν ἐκ ταὐτομάτου γινομένων πάντων ἐκτός ἐστι τὸ αἴτιον. Ἐνίων γὰρ τῶν παρὰ φύσιν γινομένων ἐντός ἐστι τὸ αἴτιον, οἷον θλίψις, ἢ δυσκρασία, ἢ πλεονασμὸς ὕλης, ἢ ἔνδεια· ὥστε ταῦτα μὲν οὐκ ἂν εἴη ἀπὸ ταὐτομάτου, τῶν δὲ φύσει καὶ οὐ κατὰ προαίρεσιν τὰ ἔξωθεν ἔχοντα τὴν αἰτίαν, ταῦτα ἂν εἴη οὐκ ἀπὸ τύχης μέν, ἐκ ταὐτομάτου δέ, διότι κοινῶς μὲν ἐκ ταὐτομάτου πάντα ὅσα μὴ τοῖς προηγησαμένοις αἰτίοις ἀκολουθεῖ· τούτων δὲ ἀπὸ τύχης μὲν τὰ τοῖς κατὰ προαίρεσιν ἐπισυμβαίνοντα· ἐκ ταὐτομάτου δὲ εἰδικώτερον τὰ τῇ φύσει συνεπακολουθοῦντα. Φύσιν δὲ τὴν ἄλογον πᾶσαν ἀκουστέον ζωήν: —

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἢ τῶν φύσει, ἢ τῶν ἀπὸ διανοίας αἰτίων ἀεί ἐστιν οἷς ἡ τύχη καὶ τὸ αὐτόματον παρυφίσταται· φύσις δὲ καὶ διάνοια τῶν ποιητικῶν ἐστιν αἰτίων. Εἰ οὖν ἡ τύχη καὶ τὸ αὐτόματον ἐν τοῖς ἕνεκά του γινομένοις ἐστὶ κατὰ συμβεβηκὸς αἰτία, τούτων δὲ ἀεί τι αἴτιον καθ' αὑτὸ ἢ τῶν φύσει, ἢ τῶν ἀπὸ διανοίας, ταῦτα δὲ ποιητικά, δῆλον ὅτι καὶ ἐκεῖνα ποιητικὰ ἂν εἴη τὰ τούτοις παρυφιστάμενα: —

Τοῦ αὐτοῦ ἀποτελέσματος καὶ καθ' αὑτὸ ἂν εἴη αἴτιος ὁ νοῦς, καὶ κατὰ συμβεβηκός· καὶ γὰρ εὕροι ἂν τὸν χρεώστην ἐν ἀγορᾷ καὶ προελόμενός τις· ὥς τε καὶ ὁ οὐρανός, εἰ ἀπὸ τύχης γίνεται καὶ αὐτομάτου, πολλῷ πρότερον ὑπὸ νοῦ ἢ φύσεως. Λέγει δὲ ἄλλων πολλῶν καὶ τοῦδε τοῦ παντός, διότι τῶν ἀϊδίων μάλιστα αἴτιον εἶναι τὸν νοῦν βούλεται, ὡς τεταγμένων καὶ ὡρισμένων. Ἔστι δὲ ἀΐδιον τὸ πᾶν τόδε, ὡς ἐν τῇ Περὶ οὐρανοῦ ἔδειξε, καὶ τῶν ἐν τῷ παντὶ πολλά, οὐρανοὶ καὶ ἄστρα καὶ τῶν στοιχείων αἱ ὁλότητες:

**Chapitre VII.** — Αἰτιά ἐστιν ἃ ἐρωτώμενοι τὸ διὰ τί ἀποδίδομεν· ἐρωτώμενοι δὲ τὸ διὰ τί, ἀποδίδομεν τέσσαρα· ἢ τὸ εἶδος, ἢ τὸ ποιοῦν, ἢ τὸ τέλος, ἢ τὴν ὕλην. Τοσαῦτα ἄρα καὶ ταῦτα τὰ αἴτια: —

Τὸ ἐν τοῖς γινομένοις ἢ πρὸς ἀντιδιαστολὴν εἶπε τῶν ἀγενήτων, ἐν οἷς οὐκ ἔστιν ὕλη, ἢ πρὸς ἀντιδιαστολὴν τῶν συμβεβηκότων· ἐπὶ γὰρ τῶν κυρίως γινομένων ἤγουν τῶν οὐσιῶν ἡ ὕλη· τῶν γὰρ κατὰ συμβεβηκὸς οὐκ ἔστιν ἡ ὕλη καθ' αὑτήν, ἀλλὰ τῇ πρὸς τὴν οὐσίαν ἀναφορᾷ: —

Πῶς ὁ ἥλιος κινούμενος μὲν κινεῖ, οὐ μὴν ὁ αὐτός ἐστι τοῖς γινομένοις τῷ εἴδει, οὐδὲ τὰ γινόμενα ὑπ' αὐτοῦ πάντα ἀλλήλοις ὁμοειδῆ ἢ καθὸ ἔνυλον εἶδος καὶ τὸ ποιοῦν καὶ τὰ γινόμενα τῆς ὕλης κοινῆς κατὰ τοῦ ὑποκειμένου λεγομένης· κἂν γὰρ ὕλη μὴ ᾖ ἐν οὐρανῷ, κατὰ Ἀριστοτέλην, διὰ τὸ μὴ μεταβάλλειν ἀπ' ἄλλων εἰς ἄλλα, ἀλλ' ὑποκείμενόν γε καὶ ἐν ἐκείνοις ἐστί· διὸ καὶ κινοῦνται κατὰ τόπον, ὡς ἐν τῷ πρώτῳ τῶν Μετὰ τὰ φυσικά φησιν· ἢ τὸ ὁμοειδὲς περὶ τῶν προσεχῶς αἰτίων φησίν. Ὁ δὲ ἥλιος οὐ προσεχὲς αἴτιον· ἡ δὲ φύσις, ἅτε πολλὴν πρὸς τὸ εἶδος ἔχουσα κοινωνίαν. Ὅτι δὲ τὸ κινοῦν καὶ ποιοῦν οὐχ ἁπλοῦν ἐστιν, ἀλλὰ τριττόν, τὸ μὲν ἀκίνητον, τὸ δὲ κινούμενον, καὶ τούτων τὸ μὲν προσεχές, τὸ δὲ πορρωτέρω δείκνυσιν αὐτοῦ· καὶ τὰς πραγματείας τὰς περὶ τῶν ὄντων, μᾶλλον δὲ τὰς περὶ τῶν ἀρχῶν τῶν ὄντων τριχῇ διῃρῆσθαι· καὶ τὴν μὲν Μετὰ φυσικὰ περὶ τοῦ πρώτου λέγειν· τὴν δὲ Περὶ οὐρανοῦ περὶ τοῦ τρίτου ἤγουν τοῦ πορρωτέρω καὶ ἀφθάρτου· τὴν δὲ Περὶ γενέσεως καὶ φθορᾶς καὶ τὰς ἄλλας φυσικὰς πραγματείας περὶ τῶν προσεχῶν αἰτίων ἤγουν περὶ τοῦ δευτέρου, αἷς καὶ ἡ προκειμένη συνηρίθμηται, ἀρχῆς λόγον πρὸς ἐκείνας σῴζουσα: —

| Τοῦ ποιητικοῦ τὸ μὲν προσεχές, ὃ καὶ κινοῦν καὶ κινούμενον, ὡς τὸ f. 59 v
κατὰ προαίρεσιν ἢ τέχνην κινοῦν· τὸ δὲ πόρρω καὶ ἀκίνητον καὶ πρῶτον



Ε.Υ. Δ. ΙΩΑΝΝΙΝΑ 2006

κινοῦν, ὡς Θεὸς ἢ νοῦς ὁ πρῶτος. Καὶ τὰ μὲν κατὰ τέχνην καὶ προαίρεσιν κινοῦντα, κἂν καθ᾽ αὑτὰ ᾖ ἀκίνητα τὰς φυσικὰς κινήσεις, τὴν αὔξησιν καὶ τὴν ἀλλοίωσιν καὶ τὰς λοιπάς, κινεῖται μέντοι κατὰ συμβεβηκὸς ἐν τοῖς φυσικοῖς· τοιαῦται γὰρ αἱ τῆς ψυχῆς ἐνέργειαι κατὰ τόπον μεταβαίνουσαι. Καὶ ἀπ᾽ ἄλλων εἰς ἄλλα μεθιστάμεναι ἔν τε τῷ προαιρεῖσθαι, ἔν τε τῷ τεχνάζεσθαι. Τὸ δὲ πάντων πρῶτον παντελῶς ἀκίνητον καὶ καθ᾽ αὑτὸν καὶ κατὰ συμβεβηκός. Καὶ καθόσον δὲ πάντων πρῶτόν ἐστι τῶν κινούντων, διαφέρει τῶν κατὰ τέχνην καὶ προαίρεσιν κινούντων· οὐ γὰρ ἐκ παραλλήλου τὸ παντελῶς ἀκίνητον καὶ τὸ πάντων πρῶτον. Εἰπὼν δὲ ἀκίνητον τὸ πρῶτον, ἐπισημαίνεται ὅτι καὶ τὸ εἶδος καὶ ἡ μορφὴ ἀκίνητόν ἐστιν, ὅταν ὡς τέλος λαμβάνηται· ἀκίνητον γὰρ δεῖ τὸ τέλος εἶναι καὶ ὡρισμένον· τὸ δὲ εἶδος οὐχ ὡς ἔτυχε λαμβανόμενον τέλος ἐστίν, ἀλλ᾽ ὅταν οὕτω λαμβάνηται, ὅτι βέλτιον οὕτως, οἷον ἄμεινον ἦν τὸ ὄρθιον εἶναι καὶ μὴ ἄλλοῖον: —

Ἐπεὶ δὲ τὸ φυσικὸν εἶδος τέλος ἐστὶ καὶ οὗ ἕνεκα, δῆλον ὅτι ἡ φύσις ἡ ποιητικὴ τοῦ εἴδους ἕνεκα τοῦ εἴδους πάντα ποιεῖ. Εἰ οὖν ἕνεκά του καὶ μὴ μάτην ποιεῖ ἡ φύσις, δεῖ τὸν φυσικὸν ὄντα καὶ τὰς αἰτίας τῶν γινομένων ἀποδιδόναι πάντως, καὶ αἴτιον τοῦ τὸ διὰ τί ἀποδιδόναι φησὶ τὸ τὴν φύσιν δεῖν εἰδέναι ἕνεκά του ποιοῦσαν:

**Chapitre VIII.** — Ὁ Πλάτων καὶ Ἀριστοτέλης τῷ φυσικῷ προσήκειν φησὶ τὴν διττὴν αἰτίαν ἀποδιδόναι, τὴν μὲν τοῦ ἀναγκαίου, ἥ ἐστιν ἡ κατὰ τὴν ὕλην· τὴν δὲ τοῦ εὖ, ὅτι βέλτιον οὕτως ἢ ἄλλως ἔχειν. Τὸ δὲ βέλτιον οὐ τὸ ἁπλῶς ληπτέον· οὐδὲ γὰρ ὑπάρχειν τοῦτο δυνατὸν τῇ θνητῇ φύσει· ἀλλὰ τὸ πρὸς τὴν ἑκάστου φύσιν οἰκεῖον, οἷον ὅτι τοῖς ἀερίοις τὸ πτερὰ ἔχειν ἀναγκαῖον:

Συνηγορήσας τῷ λόγῳ τῶν λεγόντων τὴν φύσιν μὴ ἕνεκά του ποιεῖν, νῦν δείκνυσιν ὅτι ἀδύνατον τοῦτο οὕτως ἔχειν, καὶ συλλογίζεται οὕτω. Τὰ φύσει ἢ ἀεὶ οὕτω γίνεται, ἢ ὡς ἐπὶ τὸ πολύ· ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου, καὶ ἵππος ἐξ ἵππου, καὶ τῶν ὀδόντων ἡ φύσις ὡς ἐπὶ τὸ πλεῖστον ὁμοία, καὶ τῶν ἄλλων μερῶν. Τὰ δὲ ἀπὸ τύχης καὶ αὐτομάτου ἢ ὅλως κατὰ συμβεβηκός, οὔτε ἀεί, οὔτε ὡς ἐπὶ τὸ πολύ. Οὐκ ἄρα τὰ φύσει ἢ ἀπὸ τύχης, ἢ ἐκ ταὐτομάτου, ἢ ὅλως κατὰ συμβεβηκός. Καὶ ὁ συλλογισμὸς ἐν δευτέρῳ σχήματι. Τὸ συμπέρασμα παρέδραμεν ὡς σαφές, ἢ δυνάμει τέθεικεν ἐν τῷ „Ἀδύνατον δέ“. Τὴν δὲ μείζω δείκνυσιν ἐκ τοῦ ἀντικειμένου· τὰ γὰρ ὡς ἐπὶ τὸ πολὺ γινόμενα οὐκ ἀπὸ τύχης οὐδ᾽ ἀπὸ συμπτώματος λέγομεν. Δείξας οὖν, ὅτι τὰ ὠφέλιμα καὶ χρειώδη ἐν τοῖς φύσει οὐ κατὰ συμβεβηκὸς γίνεται, δείκνυσι λοιπὸν ὅτι ἕνεκά του ἐστὶ ταῦτα καὶ γίνεται. Τὸ δὲ διαιρετικὸν ὃ προσέλαβε, τοιοῦτον· τὰ γινόμενα ἢ κατὰ συμβεβηκὸς καὶ ἀπὸ συμπτώματος γίνεται, ἢ ἕνεκά του. Ἀλλὰ μὴν ταῦτα οὐκ ἀπὸ συμπτώματος, ὡς δέδεικται· ἕνεκά του ἄρα. Τὸ δὲ διαιρε-

IOANNINA 2006

τικὸν ἀναγκαῖον δοκεῖ, διότι καὶ ἐκεῖνοι ὡς ἀναιρετικὸν τοῦ ἕνεκά του τὸ ἀπὸ συμπτώματος ἔλεγον· ὡς γὰρ ὀφείλοντος πάντως τοῦ γινομένου παντὸς ἢ οὕτως, ἢ ἐκείνως γίνεσθαι, τῷ δεῖξαι ὅτι κατὰ συμβεβηκὸς ἀναιρεῖν ᾤοντο τὸ ἕνεκά του: —

| Δεύτερον, τοῦτο ἐπιχείρημα, οὗ ἡ δύναμις τοιαύτη. Ἐν οἷς τέλος f. 60 τί ἐστι, τὸ ὡς πέρας εἰς ὃ περατοῦται ἡ κίνησις καὶ προϊοῦσα συνεχῶς τελευτᾷ, ἐν τούτοις τὰ πρὸ τοῦ τέλους ἕνεκα τοῦ τέλους γίνεται. Ἐν δὲ τοῖς φύσει γινομένοις ἔστι τι τέλος, οἷον πόας καὶ καλάμης καὶ στάχυος ὁ πυρός. Ἐν τοῖς φύσει ἄρα γινομένοις ἕνεκα τοῦ τέλους ἀεὶ πράττεται τὸ πρότερον καὶ τὸ ἐφεξῆς, ὅπερ ἐστὶ τὸ ἕνεκά του ποιεῖν τὴν φύσιν. Τὸ δέ· Εἰ ἡ οἰκία τοῦτο βούλεται, ὅτι ὡς ἐπὶ τῶν κατὰ τέχνην τοῦ τέλους ἕνεκα πράττεται τὸ πραττόμενον τεχνικῶς, οὕτως ἐπὶ τῶν φύσει γινομένων ὑπὸ τῆς φύσεως ἕνεκα τοῦ τέλους πράττεται τὸ πραττόμενον κατὰ φύσιν. Εἰ οὖν καὶ κατὰ τέχνην ὁμοίως ἂν γίνοιτο ὥσπερ καὶ κατὰ φύσιν, ἐν δὲ τοῖς κατὰ τέχνην ἐναργῶς τοῦ τέλους ἕνεκα γίνεται τὰ πρὸ τοῦ τέλους, καὶ ἐν τοῖς κατὰ φύσιν ὁμοίως ἔχει. Τέλος δὲ λέγει οὐχ ἁπλῶς τὸ οὗ ἕνεκεν· τοῦτο γὰρ ἦν τὸ ζητούμενον, εἰ ἕνεκά του ποιεῖ ἡ φύσις· ἀλλὰ τὸ περατοῦν τὴν συνεχῆ κίνησιν ὕστερον πάντων ἐπιγινόμενον:

Τρίτον, ὁ Πορφύριος, ὡς λέγει Σιμπλίκιος, ἐκ τοῦ μᾶλλον καὶ ἧττον εἶναι τὴν ἐπιχείρησιν ἐνταῦθά φησι. Εἰ γὰρ ἡ τέχνη, τῆς φύσεως χείρων οὖσα, ὥσπερ ἡ εἰκὼν τοῦ παραδείγματος, τὰ πρὸ τοῦ τέλους ἕνεκα τοῦ τέλους ποιεῖ, πολλῷ μᾶλλον ἡ φύσις, κρείττων οὖσα τῆς τέχνης, οὕτω ποιήσει. Πῶς δ' ἂν λέγοι χείρονα τῆς φύσεως τὴν τέχνην, εἴπερ φησὶν ἀποτελεῖν ἅπερ ἡ φύσις ἀμηχανεῖ ἀπεργάσασθαι, εἰ μὴ ἄρα ὡς τῆς τέχνης τὸ λεῖπον ἀναπληρούσης, τοῦτο δὲ καὶ τὸ χεῖρον ποιεῖν δυνατόν, ἢ καὶ ὡς μιμουμένης; —

Ἡ τετάρτη ἐπιχείρησις τοιαύτη ἀπὸ τῆς κατὰ τὰ ἄλογα ζῷα ὁμοιώσεως πάνυ εὐμεθόδως προενεγχθεῖσα. Τὰ ἐν τοῖς ἀλόγοις ζῴοις καὶ μάλιστα τὰ ἐν τοῖς φυτοῖς γινόμενα ἕνεκά του γίνεται. Ἡ φύσις ἄρα ἕνεκά του ποιεῖ:

Ἐπιστητέον δὲ ὅτι τὰ ἄλογα ζῷα καὶ τὰ φυτὰ ὡς φυσικὰ λαμβάνει, καίτοι ἔμψυχα ὄντα καὶ ὑπὸ ψυχῆς διοικούμενα. Εἰ δὲ ἠβούλετο τὸ ἕνεκά του ἐπὶ τῶν κυρίως φυσικῶν ἰδεῖν, παρέλαβεν ἂν τὴν κατὰ τόπον τῶν στοιχείων κίνησιν ἕνεκα τοῦ τὴν οἰκείαν ὁλότητα καταλαβεῖν γινομένην. Μήποτε οὖν φύσιν Ἀριστοτέλης καλεῖ καὶ τῆς ψυχῆς πᾶν τὸ περὶ σῶμα καταγινόμενον:

Ἐπεὶ τὰ φυσικὰ συνθετὰ ἐξ ὕλης καὶ εἴδους, ἑκάτερον δὲ τούτων φύσιν λέγεται, καὶ μᾶλλον τὸ εἶδος τῆς ὕλης, τὸ κυριώτερον τὸ εἶδος, αἰτία τῆς ὕλης, καὶ ἔστιν ἐν τῷ γινομένῳ τέλος τοῦτο, τοῦτο ἂν εἴη τὸ οὗ ἕνεκα:



Ε.Υ.Δ τπρΚ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Πρὸς τοὺς λέγοντας ἕνεκά του ποιεῖν τὴν φύσιν ἔνστασις ἦν ἀπὸ τῶν τεράτων. Λύει οὖν νῦν λέγων, ὅτι οὐ πάντα τὰ ἕνεκά του γινόμενα πάντως κατορθοῦται, ἀλλ' ἔστιν ἃ καὶ ἀποτυγχάνεται· τοῦτο γὰρ καὶ ἐν τοῖς τεχνητοῖς συμβαίνει· οὐχ ὅτι μέντοι τὰς ἁμαρτίας ἡ τέχνη ἐποίει, ἕνεκα δέ τινος ἐκείνου, οὗ διήμαρτεν. Οὕτω δὴ καὶ ἡ φύσις, κἂν μὴ ἄνθρωπον ποιήσῃ, ἀλλ' ἕνεκα τοῦ ἄνθρωπον ποιεῖν ἐποίει, ἀπετέχθη δὲ ἄλλο τι. Ἁμαρτήματα γοῦν τοῦ οὗ ἕνεκα καὶ τὰ τέρατα· διὸ οὐδὲ ἐκτοπίζεται πολὺ μακρὰν τοῦθ' οὗ ἕνεκα· ἀλλὰ μάλιστα μὲν ἐκ σπέρματος ἀνθρωπείου ἄνθρωπος, εἰ δὲ μή, ζῷον, συκῆ δέ, ἢ πλάτανος οὐδέποτε. Τοιαῦτα καὶ τὰ βουγενῆ τοῦ Ἐμπεδοκλέους ἀνδρόπρωρα· ἁμαρτήματα δέ εἰσι τοῦ ἕνεκά του ποιοῦντος τὰ τοιαῦτα τέρατα. Οὐχ ἱκανὰ οὖν τὰ τοιαῦτα παραδείγματα δεῖξαι, ὅτι ἡ φύσις οὐχ ἕνεκά του ποιεῖ· τέως δὲ οὐδὲ ἀληθὴς ἡ ἔνστασις, οὐδὲ ἡ ὑπόθεσις τῆς ἐνστάσεως. Οὐ γὰρ δυνατὸν ἦν ζῷα ἐξ ἀρχῆς γενέσθαι, ἀλλὰ σπέρμα πρὸ τῶν ζῴων, εἴπερ ἀνάγκη πᾶν ζῷον, καὶ τὸ κατωρθωμένον καὶ τὸ τερατῶδες, ἐκ σπέρματος γενέσθαι οἰκείου, ἀλλ' οὐκ εὐθὺς ἡμιτόμων τῶν ζῴων ἡμιτόμοις συγκολλωμένων. Εἰ δὲ ἀπὸ σπέρματος οἰκείου δεῖ τὴν ἀρχὴν τῆς γενέσεως ἕκαστον λαβεῖν, δηλονότι τάξις τίς ἐστιν ἐν τῇ γενέσει, καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον, καὶ τὸ πρῶτον τοῦ δευτέρου χάριν· ἐν δὲ τοῖς τοιούτοις τὸ ἕνεκά του πάντως θεωρεῖται: —

f. 60v | Οὐλοφυὲς ἐκεῖνο κυρίως ἐστίν, ὅπερ καθ' ὅλον ἑαυτὸ πᾶν ἐστιν ὅπερ ἂν ᾖ, μήπω γενομένης ἐν αὐτῷ διακρίσεως· πᾶν γὰρ μέρος τοῦ σπέρματος πᾶν τοῦ σώματος μέρος ἐστίν. Οὐδὲν δὲ τοῦ σώματος μέρος ἐστὶ τὰ ἄλλα μέρη, διακρίσεως ἤδη γενομένης ἐν αὐτοῖς καὶ διασπασθέντος τοῦ οὐλοφυοῦς: —

Καὶ τοῦτο πρὸς τὴν ἀπὸ τοῦ Ἐμπεδοκλέους ὁρμωμένην ἔνστασιν εἴρηται. Ἐπειδὴ γὰρ καὶ ἐν τοῖς φυτοῖς προφανές ἐστι τὸ ἕνεκά του, ὡς ἔλεγε τὸ πρότερον, ἄρα καὶ ἐν τούτοις, ὥσπερ καὶ ἐν τοῖς ζῴοις, ἐστὶ τινὰ τερατώδη ἐξ ἀμπέλου καὶ ἐλαίας ἀμπελογενῆ ἐλαιόπρωρα, ὥστε καὶ ἀπὸ τούτου ἐνίστασθαι πρὸς τὸ ἕνεκά του τὴν φύσιν ποιεῖν, ἢ οὔ. Εἰ μὲν γὰρ ἔστι, πῶς αὐτὸ παραλέλοιπεν Ἐμπεδοκλῆς; Εἰ δὲ μὴ ἔστιν, πῶς ἐπὶ μὲν τῶν ζῴων ἐστίν, ἐπὶ δὲ τῶν φυτῶν οὐκ ἔστιν; Ἔτι δέ, φησίν, ἔδει καὶ ἐν τοῖς σπέρμασι γίνεσθαι ὅπως ἔτυχεν, εἴπερ τὰ φύσει κατὰ σύμπτωμα καὶ κατὰ τύχην ἐγίνετο, οἷον ἐκ τοῦδε τοῦ σπέρματος ἔδει ἀδιαφόρως ποτὲ μὲν ἵππον, ποτὲ δὲ ἄλλο τι τῶν ζῴων γίνεσθαι. Νῦν δὲ ὥρισται, ὡς ἐπὶ πᾶν, ἡ ἐκ σπέρματος γένεσις. Οὐκ ἄρα κατὰ τύχην, ἀλλὰ κατὰ τάξιν καὶ ἀκολουθίαν καὶ ἕνεκα τοῦ ἐφεξῆς τὸ πρότερον γίνεται:

Εἰ ἡ φύσις ἀρχὴ κινήσεως καὶ ἠρεμίας ἐν ᾧ ἐστιν, καὶ τὰ φύσει εἰσὶν ὡσεὶ ἀπό τινος ἐν αὐτοῖς ἀρχῆς συνεχῶς κινούμενα, ἐπί τι τέλος

ΙΩΑΝΝΙΝΑ 2006

ἀφικνεῖται ὡρισμένον. Δῆλον ὅτι ἕνεκεν τοῦ δευτέρου τὸ πρότερον ἀεὶ γίνεται ἐν τοῖς τοιούτοις. Εἰ οὖν τὰ φύσει ἕνεκά του, τὰ μὴ ἕνεκά του οὐ φύσει:

Διαφέρει τὸ οὗ ἕνεκα καὶ ἕνεκά του τὰ ἐν τοῖς ἀπὸ τύχης τῶν ἐν τοῖς φυσικοῖς τῷ τὰ μὲν ἐν τοῖς κατὰ τύχην, κατὰ συμβεβηκὸς ἐπ' ἔλαττον· τὰ δὲ ἐν τοῖς φυσικοῖς, ὡς ἐπὶ τὸ πλεῖστον. Συγχωρεῖ μὲν οὖν Ἀριστοτέλης καὶ ἐν τοῖς ἀπὸ τύχης εἶναι τὸ οὗ ἕνεκα καὶ τὸ ἕνεκά του, κἂν μὴ τῇ προαιρέσει τὸ τοιοῦτον τέλος ἀκολουθῇ· τὴν δὲ διαφορὰν αὐτῶν κατὰ τὸ ὡς ἐπὶ τὸ πλεῖστον καὶ ἐπ' ἔλαττον παραδίδωσιν:

**Chapitre IX.** — Δυοῖν προβλημάτων οἰκείων τῷ περὶ αἰτίων λόγῳ, ὑλικοῦ δηλονότι καὶ ποιητικοῦ, τὸ ἕτερον δείξας, τὸ τὴν φύσιν ἕνεκά του ποιεῖν, νῦν ἐπὶ τὸ λοιπὸν μεταβαίνει, πῶς τὸ ἐξ ἀνάγκης διὰ τὴν ὕλην λεγόμενον ὑπάρχει τοῖς φυσικοῖς· ἐφ' οὗ τὸ μὲν ἁπλῶς ἀποδοκιμάζει, ὡς δοκοῦσι λέγειν οἱ ἀπὸ τῆς ὕλης τὰς αἰτίας ἀποδιδόντες· ἐγκρίνει δὲ τὸ ἐξ ὑποθέσεως, δεικνὺς ὅτι οὐκ ἄνευ μὲν τῆς ὕλης γίνεται τὰ γινόμενα, οὐ μέντοι διὰ τὴν ὕλην ὡς διά τινα κυρίως αἰτίαν, ἀλλ' ὡς δι' ὕλην μόνον καὶ ὑλικὴν αἰτίαν· τὰ γὰρ ἐξ ὑποθέσεως, ὡς ὕστερα τῶν προτιθεμένων, καὶ ἧττον αἴτιά εἰσι. Τὸ δὲ κυρίως αἴτιον τὸ τέλος ἐστὶ καὶ τὸ οὗ ἕνεκα· τοῦ γὰρ οἴκου ἢ τοῦ τοίχου κυρίως αἴτιον οὐ τὰ βαρέα καὶ ἐπιπολάζοντα, ἀλλὰ τὸ κρύπτειν καὶ σῴζειν τὰ ἐνόντα ἢ ἀνέχειν τὴν ὀροφήν. Ἡ δὲ ὕλη ἐξ ὑποθέσεως τὸ ἀναγκαῖον ἔχει· ὑποτεθέντος γὰρ τοῦ τέλους καὶ τοῦ οὗ ἕνεκα, ἀκολουθεῖ τὸ ἀναγκαῖον τῆς ὕλης· οἷον εἰ ἔσται οἰκία, δεῖ λίθους ἐξ ἀνάγκης εἶναι καὶ ξύλα, οὐ τὸ ἀνάπαλιν. Οὕτω δὲ καὶ ἐπὶ τῶν φύσει γινομένων, τὸ οὕτως ἀναγκαῖον οὐκ ἐν τῷ τέλει θετέον, ἀλλ' ἐν τῇ ὕλῃ, οὐχ ὅτι ἕνεκα ταύτης, ἀλλ' ὅτι οὐκ ἄνευ ταύτης. Καὶ γάρ ἐστι μὲν καὶ ἡ ὕλη τῶν καθ' αὑτὰ αἰτίων, ὡς εἴρηται, ἀλλὰ κυριωτέρα τε ἡ μορφὴ καὶ ὁ λόγος ὁ τί ἦν εἶναι· καὶ τῇ ὕλῃ τὸ ἀναγκαῖον οὐ δι' ἑαυτήν, ἀλλὰ διὰ τὴν μορφήν. Τῇ μὲν γὰρ ὕλῃ οὐδὲν ἐξ ἀνάγκης ἀκολουθεῖ, αὕτη δὲ ἐξ ἀνάγκης ὀφείλει προϋποκεῖσθαι τῷ εἴδει. Τὸ δὲ τοῦ τέλους ἀναγκαῖον δι' αὐτὸ τὸ τέλος ἐστίν, οὗ ἕνεκα καὶ τὰ προϋπηργμένα. Τοιαῦτα καὶ τοιαύτῃ τάξει παραλαμβάνεται· ὥστε ἡ ὕλη τὸ ἀναγκαῖον διὰ τὸ τέλος ἔχει, ἀλλ' οὐχὶ τὸ τέλος διὰ τὴν ὕλην· ὥστε οἱ μόνην αἰτίαν τὴν ὕλην ὑποτιθέμενοι ἁπλῶς ἂν ἐξ ἀνάγκης ὑλικῆς γίνεσθαι τὰ γινόμενα λέγοιεν. Ἐπεὶ δὲ τὸ εἶδος ἀποδέδεικται κυριωτέρα αἰτία, οὐκ ἂν ἡ ὕλη ἁπλῶς ἀναγκαία λέγοιτο, ἀλλ' ἐξ ὑποθέσεως: —

| Τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον παραπλησίως ἔχει ἔν τε τοῖς μαθήμασι f. 61 κἂν τοῖς φυσικοῖς τρόπον τινά. Ἐπὶ μὲν γὰρ τῶν μαθημάτων, ἐὰν ὦσιν αἱ ὑποθέσεις, ἔστι καὶ τὸ ἐξ αὐτῶν συμπέρασμα. Ἐν δὲ τοῖς φύσει γινομένοις, εἰ ἔσται οἰκία, ἀνάγκη ὕλην τοιάνδε εἶναι. Διαφέρει δέ, ὅτι ἐπὶ μὲν τῶν μαθημάτων τὸ συνημμένον ἐστίν· εἰ τὰ πρότερα, καὶ τὰ ὕστερα·

Ε.Γ. Δήμος τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πρότεραι γὰρ αἱ ὑποθέσεις τοῦ συμπεράσματος, καὶ εἰ μὴ τὰ ὕστερα, οὐδὲ τὰ πρότερα· ἐπὶ δὲ τῶν γινομένων ἔμπαλιν. Εἰ γάρ ἐστι τὸ τέλος, ἐξ ἀνάγκης καὶ τὰ πρὸς τὸ τέλος, οὐ μέντοι εἰ τὰ πρὸς τὸ τέλος, ἤδη καὶ τὸ τέλος. Εἰ γὰρ οἶκος καὶ λίθοι, οὐ μέντοι οἱ λίθοι καὶ οἶκος· ἔχοι δ' ἂν ὁμοιότητα ἡ ἀκολουθία, εἴ τις τὸ τέλος ὡς πρῶτον νομίζει τῇ φύσει, διότι τούτου ἕνεκα καὶ ἡ ὕλη. Λαβὼν γάρ τις εὐθὺς ἐν ἀρχῇ ἐν τῷ λογισμῷ τὴν χρείαν τῆς οἰκίας καὶ τὴν ὠφέλειαν καὶ προαναζωγραφήσας τὸ σχῆμα, οὕτω τὴν ὕλην παρατίθεται, καὶ ἔστιν ἡ τοῦ τέλους ἔννοια ἀρχὴ τῆς θεωρίας, ἀλλ' οὐ τῆς πράξεως· διττὴ γὰρ ἡ ἀρχή, καὶ γίνεται τῆς θεωρίας ἀρχὴ ἡ τοῦ τέλους ἔννοια. Ἐπεὶ σκέπης χρεία. ὀροφὴν ποιητέον, οὐκοῦν καὶ τοίχους καὶ θεμέλια καὶ ὄρυξιν. Τὸ δὲ τέλος τῆς θεωρίας ἀρχὴ γίνεται τῆς πράξεως. Ἀλλ' ἐπὶ τῶν μαθημάτων, ἐφ' ὧν πρᾶξις οὐκ ἔστι, μία ἐστὶν ἀρχὴ ἡ κατὰ τὴν θεωρίαν, οὐ τὸ τέλος οὖσα, οὐδὲ τὸ οὗ ἕνεκα, ἀλλὰ τὰ δεικτικὰ τοῦ συμπεράσματος. Ἰστέον ὅτι δέδεικται παντὸς εὐθυγράμμου τὰς ἐκτὸς πάσας γωνίας τέτρασιν ὀρθαῖς ἴσας εἶναι, καὶ ὅτι καὶ τοῦ τριγώνου πᾶσαι γωνίαι, καὶ ἐντὸς καὶ ἐκτός, ἓξ ὀρθαῖς εἰσιν ἴσαι. Ἐπεὶ οὖν τὸ τρίγωνον εὐθύγραμμόν ἐστιν, ὅπερ εἶπεν αὐτὸς εὐθὺ τοδί, τούτου δὲ αἱ ἐντὸς καὶ ἐκτὸς ἓξ ὀρθαῖς ἴσαις εἰσίν, ὧν αἱ ἐκτὸς τέτρασι, λοιπαὶ αἱ ἐντός, δυσίν· εἰ δὲ μὴ τοῦτο, οὐδὲ αἱ ἐκτὸς τέσσαρσιν, εἴπερ πᾶσαι ἕξ· ὥστε οὐδὲ εὐθύγραμμον τοδί· εἰ δὲ δυσὶν ὀρθαῖς ἴσαι τρεῖς αἱ ἐντός, οὐ πάντως τρίγωνον. Αἱ ἐπὶ τῶν ἀριθμῶν, εἰ πέντε καὶ πέντε, δέκα γίνεται· εἰ δὲ δέκα οὐ πάντως πέντε καὶ πέντε· καὶ γὰρ θ' καὶ α', καὶ ἄλλα πολλαχῶς. Εἰ μέντοι μὴ δέκα, οὐδὲ ε' καὶ ε'.

Ἐν πολλοῖς ὁρισμοῖς περιλαμβάνεται καὶ ἡ ὕλη, ποτὲ μὲν δυνάμει, ὡς ἐν τῷ τοῦ εἴδους ὁρισμῷ· ποτὲ δὲ ἐνεργείᾳ, ὡς ἐν τῷ συνθέτῳ· καὶ οὕτως ὁ ὁρισμὸς οὐκ ἀρχὴ τῆς ὕλης, ἐμπεριέχων αὐτὴν ἐν ἑαυτῷ· καὶ τὸ μὲν τέλος καὶ τὸ εἶδος ἔσται ἀρχὴ τῆς ὕλης· ὁ δὲ ὁρισμός, τοῦ συναμφοτέρου δηλωτικὸς ὑπάρχων, καὶ τὴν ὕλην περιέξει· ὥστε περὶ ἀμφοτέρων τῶν αἰτίων τὸν λόγον ὁ φυσικὸς ποιήσεται, μᾶλλον δὲ περὶ τοῦ εἴδους καὶ τοῦ ὁρισμοῦ, ὡς εἴρηται: —

## Sur le livre III.

Ἐν τῷ πρὸ τούτου βιβλίῳ, περὶ τῶν αἰτίων διαλεχθείς, καὶ ποιητικὸν αἴτιον τὴν φύσιν εἰπών, καὶ διορισάμενος αὐτὴν κινήσεως ἀρχήν, εἰκότως ἐφεξῆς περὶ κινήσεως διδάσκει, ἔτι τε περὶ ἀπείρου, τόπου, χρόνου, κενοῦ ὡς παρακολουθούντων πᾶσι τοῖς φυσικοῖς πράγμασι:

**Chapitre I.** — Κίνησιν δὲ καὶ μεταβολὴν ἐκ παραλλήλου τέθεικε νῦν, εἰ καὶ ὕστερον τέλος κοινότερον τὴν μεταβολὴν ἀναλαβών, εἰδικώτερον

ΙΩΑΝΝΙΝΑ 2006

δὲ τὴν κίνησιν, ἢ ἀρχὴν μὲν κινήσεως φησίν, ἤτοι τῶν κατὰ τὰ συμβεβηκότα μεταβαλλόντων, μεταβολῆς δὲ τῶν κατ' οὐσίαν:

Πῶς δὲ ἐνταῦθα μὲν ὑπὸ τὸ ποσὸν ἀνάγει τὴν κίνησιν, ἐπεὶ τῶν συνεχῶν αὐτὴν εἶναί φησιν, ἐν δὲ ταῖς κατηγορίαις οὐχ οὕτω ποιεῖ: Ἀλλὰ καὶ ὧδε μετ' ὀλίγον ὑπὸ τὸ πρότερον ταύτην ἀνάξει· ἤγουν διὰ τοῦτο εἶπε· „δοκεῖ“, ὡς οὐκ ἀρεσκόμενος τούτῳ· ἢ μᾶλλον ἡ κίνησις πῶς μὲν καὶ συνεχές ἐστι ποσόν, πῶς δὲ πρός τι, κατ' ἄλλο καὶ ἄλλο λαμβανομένη· αὐτὴ μὲν γὰρ ἡ κίνησις, ποσόν· τὸ δ' ἐν κινήσει, πρός τι, ἅτε ἐν σχέσει τινὶ ὑπάρχον πρὸς τὸ κινοῦν. Τὸ δὲ δοκεῖ σημεῖόν ἐστι τοῦ ἀπὸ τῶν φαινομένων καὶ ἐνεργειῶν ἄρχεσθαι: —

| Μέλλων δεικνύναι τί ἐστιν ἡ κίνησις καὶ τὸν ὁρισμὸν αὐτῆς συνάγειν· f. 61 v
δεύτερον, ἐν τίνι ἐστίν· ὅτι ἐν τῷ κινουμένῳ· τρίτον, ὅτι τῶν πολλαχῶς λεγομένων ἐστίν· τέταρτον, ὅτι ἕκαστον εἶδος κινήσεως εἰς ἀντίθετα εἴδη διαιρεῖται, ἀξιώματα τέσσαρα προλαμβάνει, ὧν ἕκαστον εἰς ἕκαστον τῶν εἰρημένων συντελεῖ κατὰ τάξιν. Καὶ τὸ μὲν πρῶτον ἐκ διαιρέσεως εἴληπται, καί φησιν ὅτι τῶν ὄντων τὰ μέν ἐστιν ἐντελεχείᾳ μόνον, ὃ ταῖς ἀγεννήτοις οὐσίαις ἁρμόζει, ὧν ἑκάστη οὐδὲν ἄλλο γενέσθαι δύναται παρ' ὅ ἐστιν ἐξ ἀρχῆς· τὰ δὲ δυνάμει καὶ ἐντελεχείᾳ, ὃ κατὰ πάσας τὰς κατηγορίας ἁρμόττει τοῖς γενητοῖς καὶ ὅλως συνθέτοις ἐξ ὕλης καὶ εἴδους. Εἰ δὲ τὸ αἰθέριον σῶμα κατ' οὐσίαν ἐντελεχείᾳ μόνον ἐστίν, ἀλλὰ κατὰ τὴν τοπικὴν κίνησιν μετέχει πως καὶ τοῦ δυνάμει· οὐ γὰρ ἅμα πανταχοῦ ἐστι κατὰ πᾶν μέρος· δυνάμει δὲ μόνον οὐδέν ἐστι κατὰ τὴν ὑπόστασιν, εἰ μή τις λέγοι τὴν ὕλην, καθόσον τῶν εἰδῶν ἐκπέπτωκε παντάπασι. Τὸ ἐνεργείᾳ τοίνυν μὴ λέγων διῃρῆσθαι εἰς τὰς δέκα κατηγορίας, τοῦ τελείου δὲ μόνον ἕνεκα τῆς διαιρέσεως παραλαμβάνεται, αὐτὸ τὸ δυνάμει καὶ ἐντελεχείᾳ εἰς τὰς δέκα κατηγορίας διαιρεῖ, ὡς καθ' ἕκαστον γένος θεωρούμενον:

Πρῶτον λῆμμα πρὸς τὸ δεῖξαι ὅτι ἡ κίνησις ἐν τοῖς κινητοῖς· διαίρεσιν δὲ τοῦ πρός τι ποιεῖται, δύο μόνον εἴδη λαμβάνων. Ἔστι δὲ καὶ ἄλλα εἴδη· τὸ κατ' ἰσότητα· δεύτερον, τὸ καθ' ὁμοιότητα, τὸ κατὰ τὸ αἴτιον καὶ αἰτιατόν, καὶ τὸ κατὰ κρίσιν, ὡς τὸ ὁρατὸν καὶ ὁρατόν· τρίτον λῆμμα συνιστῶν ὁμώνυμον εἶναι τὴν κίνησιν τετραχῶς ὑφεστῶσαν· κατά τε οὐσίαν καὶ ποσότητα καὶ ποιότητα καὶ τόπον, ὧν οὐδὲν κοινὸν γένος. Ὅτι δὲ οὐκ ἔστιν ἔξω τῶν πραγμάτων ἡ κίνησις, δείκνυσιν ἐπάγων. Ἀλλ' εἰ πᾶσα κίνησις ὑπὸ τὰ πρός τι ἐν τῷ κινητικῷ κινήτῳ θεωρουμένη, πῶς ὑφ' ἓν γένος οὖσαι πᾶσαι, ὅμως εἰσὶν ὁμώνυμοι; ἢ οὐδὲν κωλύει τινά, ὑφ' ἕν τι γένος ὄντα, ὁμώνυμα ἀλλήλοις εἶναι. Οἱ γοῦν Ἀλέξανδροι ὑπὸ τὴν οὐσίαν ὄντες, ὅμως ὁμώνυμοί εἰσι. Καὶ ἡ κίνησίς ἐστι μὲν ὑπὸ τὰ πρός τι τῷ ἕκαστον αὐτῶν πρὸς ἄλλο εἶναι· ὁμώνυμος μέντοι τῷ μηδὲν ἔχειν κοινόν, ὡς γένος τὰ ἐν οἷς ἐστιν, ἀλλ' εἶναι διαφέροντα γένη· ἁπλῶς δὲ οὐ ποιεῖ συνώνυμον τὸ ὑπὸ τὸ αὐτὸ γένος εἶναι, ἀλλὰ

τὸ ὑπὸ τὸ αὐτὸ εἶδος ἐκεῖνο, τὸ ὑπὸ τοῦ κοίνου αὐτῶν ὀνόματος σημαινόμενον:

Τοῦ δυνάμει, φησί, καὶ ἐντελεχείᾳ καθ' ἕκαστον γένος θεωρηθέντος, τὴν τοῦ δυνάμει ὄντος ἐνέργειαν, ᾗ τοιοῦτον, κίνησιν λέγω· τὸ δὲ ᾗ τοιοῦτον οὕτω νόει, καθὸ δυνάμει ἐστί· καθὸ γὰρ ἐνεργείᾳ ἐστίν, οὐδὲν κινεῖται· οὐ μέντοι οὐδὲ καθὸ δυνάμει μόνον ὂν καὶ ἐν μόνῃ ἐπιτηδειότητι· οὐδὲ γὰρ τότε κινεῖται· ἀλλ' ὅταν ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβάλλῃ, μένοντος ἐν αὐτῷ ἔτι τοῦ δυνάμει:

Ἡ ἐνέργεια τοῦ οἰκοδομητοῦ, καθὸ οἰκοδομητόν, καὶ τὸ ἐνεργείᾳ αὐτοῦ οἰκοδόμησις· οἰκοδόμησις δὲ κίνησις· ἡ τοῦ οἰκοδομητοῦ ἄρα, καθὸ οἰκοδομητόν, ἐστὶν ἐνέργεια, καὶ κίνησίς ἐστιν:

Προσθεῖναι βούλεται τῷ λόγῳ τῆς κινήσεως. Ἐπεὶ γὰρ ἐντελέχεια τοῦ δυνάμει ὄντος ἡ κίνησις ἀποδέδεικται, ἵνα μὴ νομίσῃ τις ὅτι μόνον δυνάμει ἐστὶ τὸ τοιοῦτον, προσθήσει μετ' ὀλίγον τὸ ἐνεργείᾳ ὂν ἄλλο τι, καὶ ἄλλο δυνάμει. Ὅταν κατὰ τὸ δυνάμει ἢ αὐτὸ ἐνεργῇ, ἢ ὑπ' ἄλλου ἐνεργῆται, ἡ τοιαύτη ἐνέργεια κίνησίς ἐστιν. Εἰκότως οὖν προλαμβάνει, ὅτι τὰ φυσικὰ ἐν οἷς ἡ κίνησις καὶ δυνάμει καὶ ἐνεργείᾳ ἐστίν, καὶ ποιεῖ καὶ πάσχει. Καλῶς δὲ ἔνια εἶπε· οὐ γὰρ πάντα τοιαῦτά ἐστιν· τὰ γὰρ νοερὰ καὶ θεῖα οὐδὲν ἔχει δυνάμει, διότι τῇ οὐσίᾳ εἰσὶν ἐνεργείᾳ, ὡς αὐτός φησιν. Τὰ μέντοι οὐράνια σώματα, καὶ σώματα ὄντα, κατὰ μὲν τὴν οὐσίαν οὐκ ἔχει τὸ δυνάμει, γενέσεως καὶ φθορᾶς ἐξῃρημένα· κατὰ δὲ τὴν τοπικὴν κίνησιν, οὕτω ἐξ ἀκινησίας εἰς κίνησιν μεταβάλλειν· ἀλλὰ τῷ μὴ πάντα ἅμα πανταχοῦ εἶναι τὰ μόρια, ἴσως δὲ καὶ κατὰ τοὺς πρὸς ἄλληλα πάντων διαφόρους σχηματισμούς, πάσχει τι ἐνυπάρχον αὐτοῖς δυνάμει. Ἀλλ' εἰ καὶ κινούμενα αὐτὰ ὑπὸ τῶν πρώτων αἰτίων, κινεῖ τὰ ὑπὸ σελήνης· ταῦτα γὰρ κινοῦντα ἀντικινεῖται ὑπὸ τῶν κινουμένων διὰ τὸ ἐκ τῶν αὐτῶν συγκεῖσθαι στοιχείων. Τοιγαροῦν πάσχει μὲν κατὰ τὴν ὕλην ἕκαστον, καθ' ἣν τὸ δυνάμει ἔχει· δρᾷ δὲ κατὰ τὸ εἶδος, καθὸ ἐνεργείᾳ ἐστὶν ὅ ἐστιν· τὰ γὰρ θερμαίνοντα ἀντιψύχεται, καὶ τὰ ψύχοντα ἀντιθερμαίνεται:

f. 62 | Νῦν ἤδη τελειότερον ἀποδίδωσι τὸν τῆς κινήσεως ὁρισμόν· προστίθησι γὰρ ὅτι τὸ δυνάμει ἐκεῖνο, οὗ ἐνέργεια ἡ κίνησις, οὐ μόνον δυνάμει ἐστίν, ἀλλ' ἔστι μέν τι πάντως καὶ ἐνεργείᾳ, εἴπερ ἕκαστον ὥρισται τῇ φύσει, ἡ δὲ κίνησις ἐνέργεια αὐτοῦ ἐστιν, οὐ καθὸ ἐνεργείᾳ ἐστίν· ταύτῃ γὰρ ἠρεμεῖ καὶ κινεῖ μᾶλλον ἢ κινεῖται καὶ μεταβάλλεται· ἀλλὰ καθὸ δυνάμει ἐστίν. Ὁ δὲ Ἀλέξανδρος μᾶλλον ἀποδέχεται τὴν ἄλλην γραφήν, Πορφυρίῳ συμφωνῶν, καὶ τὸ μὲν „ἢ αὐτό“ νοεῖ περὶ τῶν φυσικῶν καὶ ἔνδοθεν κινουμένων· τὸ δὲ „ἢ ἄλλο“ νοεῖ περὶ τῶν ἔξωθεν κινουμένων, βίᾳ δηλονότι, ἢ

---

26-27 *διὰ τὸ*: *διὰ τῶν* A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006